Οἱ δὲ τοιαῦτα προβλήματα καθιέντες ȣ̓δὲν ἂν τῆς Αἰσώπȣ. γεράνȣ καὶ ἀλώπεκος ἐπιεικέςερον πρὸς κοινωνίαν φανεῖεν. ὧν ἡ μὲν ἔτνος τί λιπαρὸν κατὰ λίθȣ πλατείας καταχεαμένην, ἀλλὰ γέλωτα πάχȣσαν ἠνία. ἐξέφευγε γὰρ ὑγρότητι τὸ ἔτνος τὴν λεπτότητα τȣ̃ ςόματος αὐτῆς. ἐν μέρει τοίνυν ἡ γεράνος αὐτῇ καταγγείλασα δεῖπνον, ἐν λαγηνίδι πρȣ̀θηκε λεπτὸν ἐχȣ́σῃ καὶ μακρὸν τράχηλον, ὥςε αὐτὴν μὲν καθιέναι τὸ ςόμα ῥαδίως καὶ ἀπολαύειν, τὴν δὲ ἀλώπεκα μὴ δυναμένην κομίζεθαι συμβολὰς πρεπȣ́σας.

4. Γαλῆ.

Γαλῆ εἰς ἐργαςήριον εἰσελθȣ̃σα χαλκέως, τὴν ἐκεῖ κειμένην περιέλειχε ῥίνην. ξωομένης δὲ τῆς

γλώττης, αἷμα πολὺ ἐφέρετο. ἡ δὲ ἥδετο, νομίζουσά τι τοῦ σιδήρου ἀφαιρεῖν, ἄχρις οὗ παντελῶς πᾶσαν τὴν γλῶτταν ἀνήλωσεν.

Ο μῦθος πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς βλάπτοντας.

5. Κοιλία καὶ Πόδες.

Κοιλία καὶ πόδες περὶ δυνάμεως ἤριζον. παρ᾽ ἕκαστα δὲ τῶν ποδῶν λεγόντων, ὅτι τοσοῦτον προέχουσι τῇ ἰσχύϊ, ὡς καὶ αὐτὴν τὴν γαστέρα βαστάζειν, ἐκείνη ἀπεκρίνατο, ἀλλ᾽ ὦ οὗτοι, ἐὰν μὴ τροφὴν ἐγὼ ὑμῖν παράσχοιμι, οὐδὲ ὑμᾶς βαστάζειν δυνήσεσθαι.

Οὕτω καὶ ἐπὶ τῶν στρατευμάτων μηδὲν εἶναι τὸ πλῆθος, ἐὰν μὴ οἱ στρατηγοὶ ἄριστα φρονῶσιν.

6. Νεανίσκοι καὶ Μάγειρος.

Δύο νεανίσκοι μαγείρῳ παρεκάθηντο, καὶ δὴ τοῦ μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἕτερος τούτων μέρος τὶ τῶν κρεῶν ὑφελόμενον εἰς τὸν θατέρου καθῆκε κόλπον. ἐπιστραφέντος δὲ τοῦ μαγείρου, καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν, ὁ δὲ ἔχων, μὴ εἰληφέναι. ὁ δὲ μάγειρος, αἰσθόμενος τὴν κακουργίαν αὐτῶν, εἶπεν, ἀλλὰ κἂν ἐμὲ λάθητε, τόν γ᾽ ἐπιορκούμενον Θεὸν οὐκ οὖν λύσεσθαι.

Ο μῦθος δηλοῖ· ὅτι κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλὰ τόν γε Θεὸν οὐ λήσομεν.

7. Γεωργὸς καὶ Παῖδες αὐτοῦ.

Γεωργός τις μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας,

γίας, προσκαλεσάμενος αὐτὲς ἔφη. παῖδες ἐμοὶ, ἐγὼ μὲν ἤδη τὸν βίον ὑπέξειμι, ὑμεῖς δ' ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται ζητήσαντες, εὑρήσετε πάντα. οἱ μὲν ὖν οἰηθέντες θησαυρὸν ἐκεῖπυ κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλυ γῆν μετὰ τὴν ἀποβίωσιν τῦ πατρὸς κατέσκαψαν, καὶ θησαυρῷ μὲν ὐ περιέτυχον· ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

Ο μῦθος δηλοῖ· ὅτι ὁ κάματος θησαυρός ἐςι τοῖς ἀνθρώποις.

8. Ἀλώπηξ καὶ Λέων.

Αλώπηξ μή πω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτων ὕτως ἐφοβήθη, ὡς μικρῦ καὶ ἀποθανεῖν· ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, ὐ μὴν ὡς τὸ πρότερον. ἐκ τρίτυ τε τῦτον θεασαμένη, ὕτως αὐτῦ κατεθάῤῥησεν, ὡς καὶ προσελθῦσα διαλεχθῆναι.

Ο μῦθος δηλοῖ· ὅτι ἡ συνήθεια καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

9. Παῖς ψεύςης.

Παιδίον τὰ πρόβατα νέμον, ὡς λύκον ἐρχόμενον πρὸς διαφθορὰν ὁρῶν, ἐπικαλύμενον τὺς ἀγρότας, ἔλεγε· βοηθεῖτε ὧδε ἔρχεται λύκος. οἱ δὲ ἀγρόται τρέχοντες τῦτον εὕρισκον μὴ ἀληθεύειν· τῦτο δὲ ποιήσαντος πολλάκις, εὕρισκον ψευδόμενον. μετὰ δὲ ταῦτα τῦ λύκυ προσελθόντος, καὶ τῦ παῖδος βοῶντος, δεῦτε, λύκος, ὐκέτι τις ἐπεπιςεύκει προςδραμεῖν αὐτῷ καὶ βοηθῆσαι. ὁ δὲ λύκος εὑρηκὼς

ρηκὼς ἄδειαν, τὴν ποίμνην πᾶσαν διέφθειρεν εὐκόλως.

Ὅτι τοσᾶτον ὄφελος τῷ ψεύςῃ, ὅτι καὶ ἀληθῆ λέγων πολλάκις ἐ πιςεύεται.

10. Ταὼς καὶ Κολοιός.

Τῶν ὀρνίθων βελομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίε διὰ τὸ κάλλος χειροτονεῖν. αἱρεμένων δὲ τῦτον πάντων, κολοιὸς ὑπολαβὼν ἔφη, ἀλλ' εἰ σῦ βασιλεύοντος ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;

Ο μῦθος δηλοῖ· ὅτι τὲς ἄρχοντας ἐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

10. *Pavo* & *Monedula.*

Cum haberent comitia volucres regi creando, petiit regnum pavo, quod se ob formam eximiam illo dignum prae cunctis esse diceret; qui cum omnium suffragia laturus videretur, hic tamen rex inquit monedula, si forte sit factus, & aquilam hostem babuerimus, quidnam opis auxiliive poterit afferre?

Monet fabula: in Principibus legendis non speciem modo, sed etiam virtutem & sapientiam spectari oportere.

11. Ἔριφος καὶ Λύκος.

Ερίφος, ὑςερήσασα τῆς ποίμνης, ὑπὸ λύκε κατεδιώκετο· ἐπιςραφεῖσα δὲ πρὸς αὐτὸν, εἶπεν, ὦ λύκε, ἐπεὶ πέπεισμαι, ὅτι σὸν βρῶμα γενήσομαι, ἵνα μὴ

μὴ ἀηδῶς ἀποθάνω, αὔλησον πρῶτον, ὅπως ὀρχήσωμαι. τοῦ δὲ λύκου αὐλοῦντος, καὶ τῆς ἐρίφου ὀρχουμένης, οἱ κύνες ἀκούσαντες τὸν λύκον ἐδίωκον. ὁ δὲ ἀποστραφεὶς τῇ ἐρίφῳ φησὶ, δικαίως ταῦτά μοι γίνεται· ἔδει γάρ με, μάγειρον ὄντα, αὐλητὴν μὴ μιμεῖσθαι.

Ὁ μῦθος δηλοῖ· ὅτι οἱ τῶν μὲν πρὸς ἃ πεφύκασιν ἀμελοῦντες, τὰ δὲ ἑτέρων ἐπιτηδεύειν πειρώμενοι, δυστυχίαις περιπίπτουσιν.

12. Τέττιξ καὶ Μύρμηκες.

Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων, οἱ μύρμηκες ἔψυχον. τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. οἱ δὲ μύρμηκες εἶπον αὐτῷ, διατί τὸ θέρος οὐ συνῆγες τροφήν; ὁ δὲ εἶπεν, οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. οἱ δὲ γελάσαντες εἶπον, ἀλλ' εἰ θέρους ὥραις ηὔλεις χειμῶνος ὀρχοῦ.

Ὁ μῦθος δηλοῖ· ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

13. Λύκος καὶ γραῦς.

Λύκος λιμώττων περιῄει ζητῶν τροφήν. γενόμενος δὲ κατά τινα τόπον, ἤκουσε παιδίου κλαίοντος, καὶ γραὸς λεγούσης αὐτῷ, παῦσαι τοῦ κλαίειν. εἰ δὲ μὴ, τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ. οἰόμενος δὴ ὁ λύκος ὅτι ἀληθεύει ἡ γραῦς, ἵστατο πολλὴν ἐκδεχόμενος ὥραν. ὡς δ' ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς γραὸς κολακευούσης τὸ παιδίον, καὶ λεγούσης αὐτῷ, ἐὰν ἔλθῃ ὁ λύκος δεῦρο, φονεύσομεν, ὦ τέκνον, αὐτόν. ταῦτα ἀκούσας ὁ λύκος ἐπο-

ρεύετο, λέγων, ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν.

Ὁ μῦθος πρὸς ἀνθρώπους, οἵ τινες τὰ ἔργα τοῖς λόγοις οὐκ ἔχουσιν ὅμοια.

14. Μῦες δύο; ἀρουραῖος καὶ ἀστικός. ex *Aphthonio*.

Μῦς ἀρουραῖος ἀστικῷ γίνεται φίλος μυΐ, καὶ τὴν φιλίαν πιστούμενος πρῶτος εἰς ἀγρὸν τὸν ἀστικὸν παρελάμβανεν, καὶ ξενίαν αὐτῷ παρατίθει καὶ τράπεζαν, ἃ φέρειν οἶδε τοῖς ἐνοικοῦσιν ἀγρόν. ἀμειβόμενος δὲ τὴν ξενίαν ὁ ἀστικὸς, εἰς ἄστυ τὸν ἀρουραῖον ἐκόμιζεν, καὶ εἰς ἀνδρὸς εὐπόρου παρελάμβανεν οἶκον. ὡς δὲ τῶν ὄντων ἤδη προσάπτεσθαι ἤθελον, προσιών τις ἀνέκοπτε. καὶ τοσαυτάκις τῆς ἐν τοῖς ὄψοις ἀπηλαύνοντο πείρας, ὁσάκις ἐπειρῶντο μεταλαμβάνειν. καὶ τελευταῖον ὁ ἀρουραῖος; ἄπειμι, ἔφη, τὴν ἐν ἀγροῖς προτιμῶν μετριότητα τῆς ἐν ἄστει τρυφῆς.

Οὕτως οἱ μέτρια κτώμενοι τῶν πλουτούντων εἰσὶν αἱρετώτεροι.

15. Ὁδοιπόροι καὶ Ἄρκτος.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. ἄρκτου δὲ αὐτοῖς ἐπιφανείσης, ὁ μὲν εἷς φθάσας ἀνέβη ἐπί τι δένδρον, καὶ ἐνταῦθα ἐκρύπτετο. ὁ δὲ ἕτερος, μέλλων περικατάληπτος γίνεσθαι, πεσὼν ἐπὶ τοῦ ἐδάφους, ἑαυτὸν νεκρὸν προσεποιεῖτο. τῆς δὲ ἄρκτου προσενεγκούσης αὐτῷ τὸ ῥύγχος καὶ περιοσφραινομένης, τὰς ἀναπνοὰς συνεῖχε. φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὸ ζῶον. ἀπαλλαγείσης δὲ, ὁ ἀπὸ τοῦ

δένδρου

δένδρȣ καταβὰς ἐπυνθάνετο τȣ̃ ἑτέρȣ, τί ἡ ἄρκτος πρὸς τὸ ȣ̃ς εἰρήκει. ὁ δὲ εἶπε τȣ̃ λοιπȣ̃ τοιαύτοις μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις ȣ̓ παραμένȣσιν.

Ο λόγος δηλοῖ, ὅτι τὰς γνησίας τῶν φίλων αἱ συμφοραὶ δοκιμάζȣσι.

16. Invidus deest in Graecis.

17. Παῖς λȣσάμενος ἑαυτόν; ex *MS. Gall.*

Παῖς λȣσάμενος ἐν ποταμῷ ἐκινδύνευε πνιγῆναι· καὶ ἰδών τινα παροδίτην, ἐπεφώνει, βοήθησον. ὁ δὲ ἐμέμφετο τῷ παιδὶ τολμηρίαν. τὸ δὲ παιδίον εἶπεν· ἀλλὰ νῦν μοι βοήθησον, ὕςερον δὲ σωθέντα μέμφȣ.

Ο μῦθυς δηλοῖ τȣ̃το. μὴ μέμφȣ, πλὴν ἐλέησον....

18. Πίθηκοι.

Τȣ̀ς πιθήκȣς φασὶ δύο τίκτειν καὶ τὸν μὲν ἕτερον ςέργειν καὶ μετ᾽ ἐπιμελείας τρέφειν, τὸν δὲ ἕτερον μισεῖν. συμβαίνει δὲ κατά τινα τύχην, τὸν μὲν ἐπιμελȣ́μενον καὶ ἀγκαλιζόμενον παρὰ τῆς μητρὸς ἀποπνίγεσθαι, τὸν δὲ ὀλιγορȣ́μενον ἐκτελεῖσθαι.

Ο λόγος δηλοῖ ὅτι πάσης προνοίας ἡ τύχη δυνατωτέρα.

Fab. 19-25 desunt in Graecis.

26. Κομπαςής.

Ανήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτȣ̃ γῆν ἐπανελθὼν, ἄλλα τε πολλὰ ἐν διαφόροις ἤνδρα-

ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ καὶ τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον ἐδεὶς τῶν ἐπ' αὐτῶ δυνατὸς ἂν εἴη πηδῆσαι· πρὸς τῶτο δὲ καὶ μάρτυρας τὰς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. τῶν δὲ παρόντων τὶς ὑπολαβὼν, ἔφη, ὦ ἕτος, εἰ ἀληθὲς τῶτ' ἔςιν, ἐδὲν δεῖ σοι μαρτύρων· ἰδὲ Ῥόδος, ἰδὲ καὶ τὸ πήδημα.

Ὁ μῦθος δηλοῖ· ὅτι ἐὰν μὴ πρόχειρος ᾖ τῶ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐςιν.

27. Μάντις.

Μάντις, ἐπ' ἀγορᾶς καθήμενος, διελέγετο. ἐπιςάντος δέ τινος αἴφνης, καὶ ἀπαγγείλαντος, ὡς αἱ τῆς οἰκίας αὐτῶ θυρίδες ἀναπεπταμέναι τε πᾶσαι εἶεν καὶ πάντα τὰ ἔνδον ἀφῃρημένα, ἀνεπήδησέ τε ςενάξας, καὶ δρομαῖος ᾔει. τρέχοντα δέ τις αὐτὸν θεασάμενος, ὦ ἕτος, εἶπεν, ὁ τἀλλότρια πράγματα προειδέναι ἐπαγγελλόμενος, τὰ σαυτῶ ἐ προεμαντεύω;

Ὁ μῦθος πρὸς τὰς τὸν μὲν ἑαυτῶν βίον φαύλως διοικᾶντας, τῶν δὲ μηδὲν αὐτοῖς προσηκόντων προνοεῖσθαι πειρομένας.

28. Παῖς καὶ Μήτηρ.

Παῖς ἐκ διδασκαλείω τὴν τῶ συμμαθητῶ δέλτον κλέψας, ἤνεγκε τῇ μητρί. τῆς δὲ μὴ ἐπιπληξάσης, μᾶλλον μὲν ἐν ἀποδεξαμένης, προϊὼν τοῖς χρόνοις ἤρξατο καὶ τὰ μείζω κλέπτειν. ἐπαυτοφώρῳ δέ ποτε ληφθεὶς, ἀπήγετο τὴν πρὸς θάνατον. τῆς δὲ μητρὸς ἑπομένης καὶ ὀλοφυρομένης, ἐκεῖνος τῶν δημίων ἐδεῖτο βραχέα τινὰ τῇ μητρὶ διαλεχθῆναι πρὸς τὸ ἐς. τῆς δὲ ταχέως τῷ ςόματι

τοῦ παιδὸς προθείσης, ἐκεῖνος τὸ οὖς τοῖς ὀδοῦσι δακὼν ἀφείλετο. τῆς δὲ μητρὸς καὶ τῶν ἄλλων κατηγορούντων, ὡς οὐ μόνον κέκλοφεν, ἀλλ' ἤδη καὶ εἰς τὴν μητέρα ἠσέβηκεν, ἐκεῖνος εἶπεν, αὐτὴ γάρ μοι τῆς ἀπωλείας γέγονεν αἴτιος. εἰ γὰρ ὅτε τὴν δέλτον ἐκεκλόφειν ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτων χωρήσας νῦν ἠγόμην ἐπὶ τὸν θάνατον.

Ὁ μῦθος δηλοῖ· ὅτι τῶν μὴ κατ' ἀρχὰς κολαζομένων ἐπὶ μεῖζον αὐξάνει τὰ κακά.

29. Γέρων καὶ Θάνατος.

Γέρων ποτὲ ξύλα τεμὼν ἐξ ὄρους, κἀπὶ τῶν ὦμον ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπηχθισμένος ἐβάδισεν, ἀπειρηκὼς, ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν θάνατον ἐλθεῖν ἐπεκαλεῖτο. τοῦ δὲ θανάτου εὐθὺς ἐπιστάντος, καὶ τὴν αἰτίαν πυνθανομένου δι' ἣν αὐτὸν καλοίη, ὁ γέρων ἔφη, ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπιθῇς μοι.

Ὁ μῦθος δηλοῖ· ὅτι πᾶς ἄνθρωπος φιλόζωος ὢν, κἂν μυρίοις κινδύνοις περιπεσὼν δοκῇ θανάτου ἐπιθυμεῖν, ὅμως τὸ ζῆν πολὺ πρὸ τοῦ θανάτου αἱρεῖται.

30. Αἴλουρες καὶ Μύες.

Ἐν οἰκίᾳ τινὶ πολλῶν μυῶν ὄντων, αἴλουρος τοῦτο γνοὺς ἧκεν ἐνταῦθα, καὶ καθέκαστον αὐτῶν συλλαμβάνων κατήσθιεν. οἱ δὲ καθ' ἑκάστην ἑαυτοὺς ἀναλισκομένους ὁρῶντες, ἔφασαν πρὸς ἀλλήλους, μηκέτι κάτω κατέλθωμεν, ἵνα μὴ παντάπασιν ἀπολώμεθα· τοῦ γὰρ αἰλούρου μὴ δυναμένου δεῦρο ἐξικνεῖσθαι, ἡμεῖς σοθησόμεθα, ὁ δὲ αἴλουρος μηκέτι τῶν μυῶν κατιόντων, ἔγνω δι' ἐπινοίας αὐτοὺς σοφιζόμενος ἐκκαλέσασθαι· καὶ δὴ ἀπὸ πατταλου τινὸς ἑαυτὸν ἀναβὰς ἀπηώρησε, καὶ προσεποιεῖτο νεκρὸν εἶναι. τῶν δὲ μυῶν τις παρακύψας, καὶ ἰδὼν αὐτὸν, ἔφη, ὦ οὗτος, κἂν θύλαξ γένῃ, οὐ προσελεύσομαί σοι.

Ὁ μῦθος δηλοῖ· ὅτι τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ἐξαπατῶνται ταῖς ὑποκρίσεσιν.

ΠΥΘΑΓΟΡΟΥ *)

ΧΡΥΣΑ ΕΠΗ.

Ἀθανάτους μὲν [a]) πρῶτα [b]) θεοὺς, νόμῳ ὡς διάκειται [c]),
Τίμα· καὶ σέβου ὅρκον· ἔπειθ᾽ ἥρωας [d]) ἀγαυούς [e]),
Τούς τε [f]) καταχθονίους σέβε δαίμονας [g]), ἔννομα ῥέζων [h]).
Τούς τε γονεῖς τίμα, τούς τ᾽ ἄγχιστ᾽ ἐκγεγαῶτας [i]).
Τῶν δ᾽ ἄλλων ἀρετῇ ποιεῦ [k]) φίλον, ὅστις ἄριστος.

Πραέσι

*) Pythagoras aus Samo gebürtig, und das Haupt der Italiänischen Philosophie, hat sich nach vielen gelehrten Reisen, endlich unter der Regierung des Servius Tullius nach Italien gewendet, um daselbst vor der Grausamkeit des Polycrates gesichert, seine philosophischen Untersuchungen und Collegia fortsetzen zu können. Seine Schüler musten erst eine Zeitlang das Schweigen lernen und ausüben. Sein Ansehen galt so viel, daß seine Zuhörer die Wahrheit eines Satzes bloß mit den Worten: αὐτὸς ἔφα, bewiesen, welches damals so viel galt, als jetzo das Q. E. D. oder ; W. Z. E. W. Ob aber dieses güldene Gedicht von ihm selbst sey verfertiget worden, oder, ob nur einer seiner Schüler seines Lehrers Moral in Verse gebracht habe, darüber sind die Bücherrichter noch nicht einig. S. Fabricii Bibl. Gr. L. II. c. XII. §. 6. p. 461. Genug, daß wir hier die praktische Philosophie in guten griechischen Versen zu lesen bekommen.

a) ὁ μὲν dieser, ὁ δὲ jener v. 5. s. pag. 57. §. III. *b*) neutr. plur. zuerst. *c*) verordnen. *d*) Halbgötter, Helden in der Tugend und im Kriege. *e*) Aeol. & poet. bewundernswürdig. *f*) wie auch. p. 9. g) mentes a δαίω scio. Schutzgeister. *h*) Lat. iusta facere. opfern. *i*) i. e. τοὺς ἀγχιστεῖς. von ἄγχι und ἐκγεγαώς. Pr. part. ἐκγάω die nächsten Anverwandten. *k*) Dorice.

Πρᾳέσι [l]) δ' εἶκε [m]) λόγοις, ἔργοισί [n]) τ' ἐπωφελίμοισι [o]).
Μηδ' ἔχθαιρε [p]) φίλον σὸν ἁμαρτάδος [q]) εἵνεκα μικρῆς,
Ὄφρα [r]) δύνῃ δύναμις γὰρ ἀνάγκης ἐγγύθι [s]) ναίει [t]).
Ταῦτα μὲν οὗτος ἴσθι· [u]) κρατεῖν δ' εἰθίζεο [v]) τῶν δε·
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης [w]) τε,
Καὶ θυμοῦ. Πρήξεις δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
Μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο [x]) σαυτόν.
Εἶτα δικαιοσύνην ἀσκεῖν ἔργῳ τε, λόγῳ τε.
Μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
Ἀλλὰ γνῶθι [y]) μὲν ὡς θανέειν [z]) πέπρωται [a]) ἅπασι·
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι [b]).
Ὅσσα τε δαιμονίῃσι [c]) τύχαις βροτοὶ ἄλγε' [d]) ἔχουσιν,
Ὧν ἂν μοῖραν ἔχῃς, πρᾴως φέρε μηδ' ἀγανάκτει.
Ἰᾶσθαι δὲ πρέπει, καθ' ὅσον δύνῃ· ὧδε [e]) δὲ φράζευ· [f])
Οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
Προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, [g]) μήτ' ἄρ' ἐάσῃς
Εἴργεσθαι [h]) σαυτόν· ψεῦδος δ' ἤν πέρ τι λέγηται.

l) von πραὺς, sanft. m) nachgeben. n) Ion. & Dor. o) nützlich. p) hassen. q) ἁμαρτὰς Ion. für ἁμαρτία. r) i. e. καθ' ὅσον. s) poet. für ἐγγὺς. t) ναίω poet. ich wohne. u) für ἴσαθι per Syncop. von ἴσημι. v) Ion. w) Wollust. x) Ion. imperat. y) von γινώσκω. z) Ion. von θνήσκω. a) für πεπεράτωται, von περατόω ich bestimme. b) a. 2. m. ὄλλυμι. c) Ion. für δαιμονίαις, göttliche Schicksale, Fügung. d) ἄλγος, Trübsal. e) und also. f) Dor. für ʁ bedenken. g) ἐκπλήσσω, ich schlage, erschüttere. h) ἔργω, ich hindere, beunruhige.

Πρᾴως ἴσχ'· [i]) Ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω [k]).
Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, [l]) μήτε τι ἔργῳ
Πρῆξαι, μηδ' εἰπεῖν, ὅ, τι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται [m])
(Δειλοῦ τοι πρήσσειν τε, λέγειν τ', ἀνόητα, πρὸς ἀνδρός.)
Ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ [n]).
Πρῆσσε δὲ μηδὲν τῶν μὴ πίστασαι, ἀλλὰ διδάσκευ
Ὅσσα χρεών· [o]) καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ' ὑγιείης τῶν περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή.
Ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου [p]), γυμνασίων τε
Ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ', ὃ μή σ' ἀνιήσῃ.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον. [q])
Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει [r]).
Μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων·
Μηδ' ἀνελεύθερος [s]) ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον,
Πρῆσσε δὲ ταῦθ'; ἅ σε μὴ βλάψῃ· λόγισαι δὲ πρὸ (ἔργου
Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι [t]) προσδέξασθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων λογίσασθαι ἕκαστον·
Πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· [u]) καὶ μετέπειτα

Δεινὰ

i) h. l. ertragen. k) τελέω ich verrichte, beobachte. l) bereden. m) πέλω & πέλομαι, ich bin, geschehe. verb. defect. & poet. n) ἀνιάω ich erwecke Verdruß, betrübte Gedanken. o) ἐστὶν, χρεὼν recht, indecl. wie fas. p) ὁ σῖτος Getrayde, τὸ σῖτον Brod, Speise. q) nicht zu leckerhaft, θρύπτω ich breche, schwäche (den Leib.) r) für ἔχει. s) illiberalis, der nicht zu leben weiß. t) Auge. ἔχει Θεὸς ἔκδικον ὄμμα. Hom. Batr. u) imper. pr. ἐπέξειμι auf dem Fusse nachgehen, genau untersuchen.

Δεινὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο. v) χρηστὰ δὲ, τέρπευ
Ταῦτα πόνει· ταῦτ᾽ ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε·
Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει. w)
Ναὶ μὰ x) τὸν ἁμετέρα y) ψυχᾷ παραδόντα τετρακτὺν z)
Παγὰν ἀενάου a) φύσεως. Ἀλλ᾽ ἔρχευ ἐπ᾽ ἔργον
Θεοῖσιν ἐπευξάμενος b) τελέσαι. Τούτων δὲ κρατήσας
Γνώσῃ ἀθανάτων τε Θεῶν θνητῶν τ᾽ ἀνθρώπων
Σύστασιν, ᾗ τε ἅπαντα διέρχεται, ᾗ τε κρατεῖται.
Γνώσῃ δ᾽ ᾗ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην.
Ὥστε σε μήτε ἄελπτ᾽ ἐλπίζειν, μήτε τι λήθειν.
Γνώσῃ δ᾽ ἀνθρώπους αὐθαίρετα πήματ᾽ ἔχοντας.
Τλήμονες, οἳ τ᾽ ἀγαθῶν πέλας ὄντων οὔτ᾽ ἐσορῶσιν, c)
Οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· ὡς δὲ κύλινδροι
Ἄλλοτ᾽ ἐπ᾽ ἄλλα φέρονται ἀπείρονα πήματ᾽ ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς d) ἔρις βλάπτουσα λέληθε
Σύμφυτος ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ, πάτερ, ἦ πολλῶν γε κακῶν λύσειας e) ἅπαντας,
Εἰ πᾶσιν δείξας, οἵῳ τῷ δαίμονι χρῶνται. f)

v) bestrafen. w) θέω, τίθημι x) adv. iur. c. acc. bey. y) Dor. α für η. z) 4 Pf. die Kräfte der Seele, oder die 4 Elemente. a) für ἀέναος, eine nie versiegende Quelle. b) ἐπεύχομαι ich flehe an. c) εἰσοράω, ῶ. d) Gefährte ὀπάζω ich begleite. e) opt. a. 1. Ael. λύω losmacher. f) was sie an ihrer Seele besässen, oder, was sie für einen Schutzgeist hätten?

Ἀλλὰ σὺ θάρσει· ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεστι, g) κρατήσεις, ὧν σε κελεύω,
Ἐξακέσας h) ψυχὴν δὲ πόνων ἀπὸ τῶν δὲ σαώσεις. i)
Ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς, k)
Ἔν τε λύσει ψυχῆς· κρῖνον καὶ φράζευ ἕκαστα
Ἡνίοχον γνώμην στήσας καθύπερθεν l) ἄριστον.
Ἔσσεαι m) ἀθάνατος θεὸς, ἄμβροτος, n) οὐκ ἔτι θνητός.

* * *

Τοῦ αὐτοῦ λείψανα. o)

Φείδεο τῆς ζωῆς, μή μιν p) καταθυμοβορήσῃς q)

* * *

Εἴ τις ἐρεῖ, Θεός εἰμι, παρὲξ ἑνὸς, οὗτος ὀφείλει
Κόσμον ἴσον τούτῳ στήσας εἰπεῖν· ἐμὸς οὗτος,
Κοὐχὶ μόνον, στήσας, εἰπεῖν, ἐμὸς, ἀλλὰ κατοικεῖν r)
Αὐτὸς ἐν ᾧ πεποίηκε, ὧδ' ἀπὸ τούτου.
Ἀείσω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε s) βεβήλοις. t)

* * *

Δουλεύειν πάθεσιν, χαλεπώτερον, ἢ τυράννοις.

Gewöhn-

g) theilhaftig seyn. h) ἐξακέω, έομαι Arzney brauchen, heilen. i) poet. σαόω für σώζω. k) Reinigung. l) zu oberst. m) poet. pro ἔσῃ. n) unsterblich. o) Ueberbleibsel, Fragmente. p) Dor. für αὐτόν. q) sich durch Sorgen, Affekten, abzehren, θυμὸς, βορά, Speise. r) bewohnen, mit seiner beständigen Gegenwart wie ein Hausherr regieren. s) a. 2. imp. m. einen Riegel vorschieben, ἐπιτίθημι. t) gottlos, profan, die nicht über βηλὸν, die Schwelle der Tempel kommen durften.

Gewöhnlichste Stammwörter der Griechischen Sprache.

Ἀβρὸς, weich
ἀγαθὸς, ὴ, ὸν, gut
ἀγαλλιάω, frolocken
ἀγανακτέω f. ήσω, unwillig seyn
ἀγάομαι, bewundern
ἀγαπάω, ήσω, lieben
ἀγγέλλω, λῶ, verkündigen
ἄγγος, τὸ, Gefäß
ἀγείρω, ερῶ, versammlen
ἀγέλη, ἡ, Heerde
ἅγιος, ία, ον, heilig
ἁγνὸς, ὴ, ὸν, rein, keusch
ἀγορὰ, ᾶς, ἡ, Markt
ἀγορέω, reden
ἀγρὸς, ȣ̃, ὁ, Acker, Landschaft
ἄγω, ξω, ἦχα, führen
ἀγὼν, ῶνος, τὸ, Streit
ἀδελφὸς, ὁ, Bruder
ᾅδης ȣ, ὁ, Hölle, Grab
ᾄδω, 1. ἀείδω, ἀείσω, pr. m. ᾖοιδα, singen
ἀθλέω, streiten
ἀθροίζω, zusammen tragen
ἀθῶος, ὁ unschuldig
αἰδὼς, όος, ȣ̃ς, ἡ, Scham
αἰκία, ἡ, das Schlagen
αἷμα, τος, τὸ, Blut
αἱμύλος, ὁ, ἡ, artig
αἰνέω, loben
αἱρέω a, 2. εἷλον, wählen
αἴρω ἀρῶ, ἦρκα, wehnehmen, tödten
αἰσθάνομαι, σθήσ. ᾔσθημαι, empfinden
αἶσχος, τὸ, Schande
αἰτέω, ήσω, bitten, 2. acc.
αἴτιος, ȣ, ὁ, Urheber
αἰὼν, ῶνος, ὁ, Zeit, Welt
ἀκέομαι, heilen
ἀκμὴ, ῆς, ἡ, Spitze
ἀκȣ́ω, hören Gen.
ἀκολȣθέω, folgen Dat.
ἀκριβὴς, έος, ὁ, ἡ, genau
ἀκροάομαι, zuhören
ἄκρος, α, ον, äusserst
ἀλάομαι, herumschwärmen
ἀλαζὼν, όνος, Praler
ἄλγος, τὸ, Schmerz
ἀληθὴς, έος, wahr
ἀλείφω, ψω, salben
ἀλλάσσω, ξω, ändern

ἁλίσγω, ἁλώσω, fangen
ἄλλος, η, ο, ein anderer
ἅλς, ἁλὸς, ὁ, Salz
ἀλύω, unruhig seyn
ἁμαρτάνω, ήσω, sündigen
ἀμὸς, keiner
ἀνάγκη, ης, ἡ Noth
ἄνεμος, ὁ Wind
ἄνθρωπος, ȣ, Mensch
ἀντάω, ήσω, begegnen
ἄξιος, ία, ιον, würdig G.
ἀπάταω, betrügen
ἀπειλέω, drohen
ἄπιος, ὁ, entlegen
ἁπλόος, ȣ̃ς, einfältig
ἅπτω, ψω, anzünden, med. berühren
ἀραιὸς, ὰ, ὸν, dünn
ἀργὸς, weiß, it. faul
ἄργυρος, ύρȣ, ὁ, Silber
ἀρέσκω, έσω, gefallen
ἄρθρον, τὸ Glied
ἀριθμέω, zählen
ἄριςον τὸ Gastmaal
ἀρκέω, έσω, genug seyn
ἅρμα τὸ Wagen
ἀρνέομαι, ήσ. leugnen
ἀρόω, όσω ackern
ἁρπάζω, κα, rauben
ἀρτάω, ήσω, aufhängen
ἄρτιος, ὁ, ἡ, tüchtig
ἀρχὴ, ἡ, Anfang

ἄρω, ρῶ, zurichten
ἀσελγὴς, ὁ, ἡ, muthwillig
ἀσκέω, ήσω, üben
ἀσπάζομαι, ασ. grüssen
ἀσπὶς, ίδος, ἡ, Schild
ἄςυ, εος, τὸ Stadt
ἀτμὸς, ὁ, das Wehen
αὐγὴ, ἡ Glanz
αὐλὸς, ὁ Flöte
αὐξάνω, ξω, l. ήσω, vermehren, wachsen
αὐχέω, grosthun
ἄχθος, τὸ, heftiger Schmerz

Βαθὺς, εῖα, ὺ, tief
βαίνω, ήσ. gehen
βάλλω, λῶ, werfen
βάπτω, ψω, eintauchen
βαρὺς, εῖα, ὺ, schwer
βασιλεὺς, έος, ὁ, König
βαςάζω, tragen
βδελύσσομαι, verabscheuen
βέβαιος, αία, ον, stark
βηλὸς, ὁ Schwelle
βία, ἡ, Gewalt
βίβλος, ἡ, Buch
βιόω, leben
βλάπτω, verletzen
βλέπω, sehen
βοάω, schreyen

βοηθέω, helfen
βόσκω, ήσω, weiden
βȣλὴ, ἡ Wille, Rath
βραβεὺς, έος, der in den Kampfspielen den Preis austheilte
βραδὺς, εῖα, ὺ, έος, langsam
βραχὺς, ὁ, kurz
βρέχω, ξω, regnen
βριάω, stark seyn
βρύχω, ξω, knirschen
βρώσκω, σω, verzehren

Γάλα, ακτος, τὸ, Milch
γαμέω, heyrathen
γαςὴρ, ἡ, Mutterleib
γελάω, lachen
γέμω, μῶ, voll seyn G.
γεννάω, zeugen, gebähren
γέρων, οντος, ὁ, Greiß
γεύω, schmecken lassen
γῆ, ἡ, Erde, Landschaft
γηθέω, freuen
γίνομαι, γενήσομαι, pr. m. γέγονα, ich werde, bin
γινώσκω, γνώσ. erkennen
γλῶσσα, Zunge, Sprache
γνήσιος, ὁ, ächt
γνωρίζω, bekannt machen
γογγύζω, murren
γράφω, schreiben
γρηγορέω, wachen
γυμνὸς, ἡ, ὸν, bloß
γυνὴ, αικὸς Weibsperson
γυρὸς, ὁ, krumm
γωνία, ἡ, Winkel

Δαΐω, σω, wissen
δάκνω, δήξω, beissen
δάκρυ, υος, τὸ Thräne
δάκτυλος, ὁ, Finger
δαμάω, bändigen
δάνος, εος, τὸ Geschenk
δαπανάω, ήσω, aufwenden
δάπεδον, ȣ, τὸ, Boden
δαψιλὴς, ὁ, ἡ, reichlich
δείδω, είσω, fürchten
δεικνύω, ξω, zeigen
δεῖπνον, τὸ, Abendessen
δέλεαρ, ατος, τὸ, Lockspeise
δέμω, μῶ, bauen
δένδρον, τὸ Baum
δεξιὸς, ὰ, ὸν, rechte
δέρας, ατος, τὸ, Fell
δέρκω, sehen
δέομαι, bedürfen, bitten
δεσπόζω, herrschen
δέχομαι, aufnehmen
δέω, binden
δῆλος, η, ον, offenbar
δῆμος, ὁ, Volk
δῆνος, εος, τὸ, Rath

διδάσκω, lehren
δίκη, ἡ, Recht, Rache
δίκτυον ȣ, τὸ, Netz
διπλόος, ȣ̃ς, ὁ, doppelt
διϛάζω, ξω, zweifeln
διψάω, ήσω, dürsten
διώκω, verfolgen
δοκάω, άσω, warten
δωκέω, ξω, meynen, scheinen
δοκιμὴ, ἡ, Erfahrung
δȣ̃λος, ὁ Knecht
δρόσος, ȣ, ἡ, Thau
δύναμις, εως, ἡ, Macht
δὺς, adv. schwer
δύω, δύνω, δύσω, untergehen
δύω, σω, anziehen
δῶρον ȣ, τὸ Geschenk

Ἐάω, άσω, zulassen
ἔαρ, ρος, τὸ, Frühling
ἔγγυος, ὁ, ein Bürge
ἐγείρω, ερῶ, erwecken
ἕζω f. 2. m. ἑδȣ̃μαι, hinsetzen
ἔθνος, εος, τὸ, Geschlecht
ἔθω, pr. m. εἴωθα, pflegen
εἰδέω, pr. m. οἶδα, wissen
εἴδω, εἴσομαι, a. 2. εἶδον, sehen
εἴκω, ähnlich seyn
εἰλέω, herumtreiben
εἶμι, a. 1. εἶσα, impf. εἶν, a. 2. ἴον, gehen

εἴρω, knüpfen
εἰρήνη, ἡ Friede
ἕκαϛος, άϛη, ον, jeder
ἑκὼν, όντος, freywillig
ἐλαφρὸς, ὰ, ὸν, leicht
ἐλαύνω, άσω, antreiben
ἐλέγχω, ξω, beschuldigen, gründlich widerlegen
ἔλεος, εέος, τὸ, Barmherzigkeit
ἐλεύθερος, α, ον, frey
ἕλκω, ξω, ziehen
ἐλπὶς, ίδος, ἡ, Hoffnung
ἐμπάζομαι, sorgen
ἐνιαυτὸς, ὁ, Jahr
ἑορτὴ, ἡ, Fest
ἐπηρεάζω, schaden
ἐπιτήδειος, α, ον, geschickt
ἔπω, a. 1. εἶπα, sagen
ἕπομαι, folgen Dat.
ἔργον, τὸ, Werk, Handlung
ἐρείδω, σω, befestigen
ἐρευνάω, ήσω nachforschen
ἔρημος, ὁ, ἡ, einsam
ἔρις, ιδος, ἡ, Streit
ἑρμηνεύω, erklären
ἕρπω, ψω, kriechen
ἐρύκω, ξ. aufhalten
ἐρύω, ziehen
ἔρχομαι, ἐλεύσομαι, a. 2. ἦλθον, kommen

ἐρωτάω,

ἐρωτάω, ήσω, fragen, bitten
ἐσθίω, ίσω, essen
ἐσθλὸς, ή, ὸν, gut
ἔσχατος, η, ον, letzte
ἑταῖρος, ὁ Cammerad
ἐτάζω, άσω, untersuchen
ἕτοιμος, η, ον, bereit
ἔτος, εος, τὸ, Jahr
εὕδω, ήσω, schlafen
εὐθὺς, εῖα, ὺ, richtig, gerad
εὑρίσκω, ρήσω, finden
εὐχὴ, ἡ, Wunsch, Gebet
εὐνὴ, ἡ, Schlafkammer
ἐχθρὸς, ὰ, ὸν, feindlich
ἔχω, ἕξω, impf. εἶχον Pr. ἔσχηκα a 2. ἔσχον haben
ἕω, a. 1. εἶσα anziehen

Ζάω, ῶ, ζήσω, leben
ζεῦγος εος, τὸ, Joch, Paar
ζημία, ἡ, Schaden
ζητέω, suchen
ζόφος, ȣ, ὁ, Finsterniß
ζύμη, ἡ, Sauerteig
ζωννύω, l. υμι, ζώσω, umgürten

Ἡγέομαι, führen, meynen
ἥδω, ήσω, ergötzen
ἦθος, εος, τὸ, Sitten
ἥκω, ξω, kommen
ἠλεὸς, ȣ, ὁ, närrisch
ἡλίκος, η, ον, wie groß?
ἥλιος, ὁ Sonne
ἧλος, ȣ, ὁ, Nagel
ἡμέρα, ἡ, Tag, Zeit
ἠμύω, neigen
ἡνία, ας, ἡ, Zügel
ἡσύχιος, ιȣ, ὁ, ἡ, ruhig
ἦχος, ȣ, ὁ, Schall

Θάλασσα, ἡ, Meer
θάλλω, αλῶ, grünen
θαμβέω, erstaunen
θάπτω, ψω, begraben
θαῤῥέω l. θαρσέω, ήσω, gutes Muths seyn
θαυμάζω, verwundern
θεάομαι, ασ. beschauen
θεμελιόω, ich gründe
θέμις, ιςος, l. ιδος, Gesetz
θεράπων, ὁ, Bedienter
θέρος, εος, τὸ, Sommer
θεωρέω, betrachten
θὴρ, ὸς, ὁ, wildes Thier
θλάω, άσω, zerstossen
θλίβω, ίψω, ängstigen
θνήσκω, Pr. τέθνηκα a. 2. ἔθανον, sterben
θοίνη, ἡ, Schmaus
θόρυβος, ὁ, Lärmen
θολὸς, ȣ, ὁ, Unflath
θραύω, brechen

θράω, ήσω, sitzen
θρέω, θροέω, lärmen
θρῆνος, ὁ, Leidwesen
θρῆσκος, ὁ, religiös
θρὶξ, τριχὸς, ὁ, Haar
θρύπτω, ψω, brechen
θρώσκω, springen,
θυγάτηρ, τρὸς, ἡ, Tochter
θυμιάω, άσω, räuchern
θυμὸς, ὁ, Gemüth
θύω, σω, schlachten
θωὴ, Geldstrafe
θώπτω, ψω, schmarotzen

Ἰάλλω, αλῶ, schicken
ἰάομαι, σ. heilen
Ἴδιος, ία, ιον, eigen, sein
ἶδος, εος, τὸ, Schweiß
ἱερὸς, ά, ὸν, heilig, geweihet
ἱκανὸς, ἡ, ὸν, zureichend
ἱκνέομαι, ἵξομαι, a. 1. ἱκόμην, kommen
ἱλάσκομαι, σ. versöhnen
ἴλλος, ȣ, ὁ, Auge
ἰξὸς, ȣ͂, ὁ, Vogelleim
ἵππος, ὁ, ἡ, Pferd
ἵπταμαι, πτησ. fliegen
ἴσημι, wissen
ἴσος, η, ον, gleich
ἰχὺς, ύος, ὁ, Stärke
ἰχθὺς, ύος, ὁ, Fisch
ἴχνος, εος, τὸ, Fußstapfe

Καθαίρω, αρῶ a. 1. ἐκάθηρα, ich reinige
καινὸς, ἡ, ὸν, neu
καιρὸς, ὁ, rechte Zeit
καίω, καύσω, brennen
κακὸς, ἡ, ὸν, bös
καλέω, κέκληκα, rufen
καλὸς, ἡ, ὸν, schön
καλύπτω, ψ. bedecken
κάμνω, κέκμηκα, ermüden
κάμπτω, ψω, biegen
κάπηλος, ȣ, ὁ, Krämer
καρδία, ἡ, Herz
καρπὸς, ὁ, Frucht
κάρφω, ψω, trocknen
καυχάομαι, ησ. rühmen
κεῖμαι, σομαι, liegen
κελεύω, befehlen
κέλλω, λῶ, länden
κενόω, ausleeren
κεντέω, stechen
κεραμεὺς, έως, ὁ Töpfer
κεραννύω, νυμι, f. άσω, vermischen
κέρας, ατος, τὸ, Horn
κεραυνὸς, ȣ, ὁ, Donnerstral
κερδαίνω, ήσω, gewinnen
κεύθω, σω, verbergen
κεφαλὴ, ἡ, Haupt
κῆδος, εος, τὸ, Sorge
κῆπος, ȣ, ὁ, Garten

κηρύσσω, ξω, ausrufen
κίνδυνος, ȣ, τὸ, Gefahr
κινέω, bewegen
κλαίω, κλαύσω, weinen
κλάω, άσω, brechen
κλείω, schliessen rühmen
κλέπτω, stehlen
κλῆρος, ὁ, Loos
κλίμαξ, ακος, ἡ, Stuffe
κλίνω, νῶ, liegen
κλύζω, waschen
κοιλία, ἡ, Leib
κοιμάω, ήσω, schlafen
κοινὸς, gemein
κοίτη, ἡ, Bette
κολάζομαι, bestrafen
κόλαξ, κος, Schmeichler
κόλλα, Leim
κόλπος, ȣ, ὁ, Schooß
κολυμβάω, schwimmen
κομέω, & ίζω, sorgen
κονέω, eilen, dienen
κόνις, εος, ἡ Staub
κόπος, ὁ, Arbeit
κόπτω, hauen
κορεννύω, έσω, reinigen
κόρη, ης, η, Mädchen
κοσμέω, ήσω, schmücken
κράζω, schreyen
κρατέω, halten, herrschen
κρεμάω, άσω, aufhängen
κρημνὸς, ὁ, steiler Ort

κρίζω, ξω, rauschen,
κρίνω, νῶ, richten
κρότος, ȣ, ὁ, das Klappern
κρȣ́ω, σω, anklopfen
κρύπτω, ψω, verbergen
κτάομαι, ήσ. besitzen
κτείνω, ενῶ, tödten
κτίζω, erschaffen
κύβος, ȣ, ὁ, Würfel
κυλίω, wälzen
κῦμα, τος, τὸ, Meereswelle
κύπτω, ψω, sich bücken
κῦρος, εος, τὸ, Ansehen
κύων, κυνὸς, ὁ, ἡ, Hund
κῶλον, τὸ, Glied
κολύω, verhindern
κώμη, ἡ, Dorf
κῶμος, ȣ, ὁ, Schmaus
κωφὸς, ἡ, ὀν, taub, dumm

Λαγχάνω, λήξω Pr. m. λέλογχα, durchs Looß bekommen

λαλέω, reden
λαμβάνω, λήψομαι, nehmen
λάμπω, leuchten
λανθάνω, (λάω l. λάθω) λήσω, verborgen seyn

λάτρις

λάτρις, ιος, ὁ, ἡ, Knecht, Magd
λάω, sehen, geniessen
λέγω, ξω, χα, sagen
λεία, ας, ἡ, Beute
λεῖος, ὁ, glatt
λείπω, verlassen
λείχω, ξω, belecken
λεπτὸς, ἡ, ὸν, dünne
λέπος, εος, τὸ, Rinde
λευκὸς, ἡ, ὸν, weiß
λῆρος, ȣ, ὁ, Kindereyen
λίθος, ὁ, Stein
λιμὸς, ȣ, ὁ, Hunger
λίος, τὸ, Fettigkeit
λίσσομαι, suppliciren
λοιδορέω, ήσω, schimpfen
λοιμὸς, ὁ, Pest
λȣ́ω, ȣ́σω, waschen
λήγη, ἡ, Finsterniß
λυμαίνω, ανῶ, reinigen
λύκος, ὁ, Wolf
λύσσα, ης, ἡ, Raserey
λύω, ύσω, auflösen
λύχνος, ὁ, Leuchte
λώβη, ἡ, Beschimpfung

Μαίνομαι, ανȣ̃μαι, f. unsinnig seyn

μακρὸς, ὰ, ὸν, weit
μαλακὸς, ἡ, ὸν, weich
μαλὸς, ἡ, ὸν, zart
μανθάνω, (μαθέω) ήσομαι a. 2. ἔμαθον, lernen
μάντις, εως, ὁ, Wahrsager
μαραίνω, ανῶ, verwelken
μάρτυρ, ος, Zeuge
μάσσω, ξω, abwischen
μαςεύω, suchen
μάςιξ, ος, ἡ, Peitsche
μαςὸς, ȣ, ὁ, Brust
μάχομαι, ήσ. & έσ. kämpfen
μέγας, άλη, α, groß
μέθυ, υος, τὸ, Meth, Wein
μεῖραξ, ακος, Jüngling
μείρω, μερῶ, theilen
μέλει, μελήσει, es liegt mir am Herzen
μέλι, ιτος, Honig
μέλος, εος, τὸ, Glied
μέμφεμαι, ψ. klagen
μένω, νῶ, bleiben
μέριμνα, ἡ, Sorge
μέσος, η, ον, mitten
μεςὸς, ἡ, ὸν, voll

μῆδος,

μῆδος, εος, τὸ, Sorge
μῆκος, εος, τὸ, Länge
μὴν, νὸς, ὁ, Monat
μηνύω, anzeigen
μιαίνω, ανῶ, beflecken
μιγνύω l. υμι, μίξω, mischen
μικρὸς, ὰ, ὸν, klein
μιμέομαι, nachahmen
μιμνήσκομαι, μνηθήσομαι, sich erinnern
μινυὸς, ȣ, ὁ, klein
μισέω, hassen
μισθὸς, ȣ, ὁ, Lohn
μόγος, ȣ, ὁ, Arbeit
μοιχὸς, ὁ, Ehebrecher
μόνος, η, ον, allein
μορφόω, bilden
μόχθος, ὁ, Mühseligkeit
μῦθος, ὁ, Rede, Fabel
μυκτὴρ, ῆρος, ὁ, Nase
μῦσος, εος, τὸ, Laster
μύω, verschliessen
μωμάομαι, ήσ. tadeln
μωρὸς, ὰ, ὸν, thöricht

Ναὸς, ȣ, ὁ, Tempel
νάρκη, ἡ, Schläfrigkeit
ναῦς, ναὸς, ἡ, Schiff
νεῖκος, εος, τὸ, Zänkerey
νεκρὸς, ὰ, ὸν, todt
νέμω, vertheilen
νέος, α, ον, neu, jung
νεύω, σω, winken
νέφος, εὸς, τὸ, Wolke
νέω, ήσω, schwimmen
νήπιος, ȣ, ὁ, Kind
νῆστις, εως, ὁ, ἡ, nüchtern
νήφω, ψω, nüchtern seyn
νικάω, ήσω, überwinden
νίπτω, ψω, sich waschen
νοέω, denken, verstehen
νόσος, ȣ, ὁ, Krankheit
νύμφη, ης, ἡ, Braut
νὺξ, κτὸς, ἡ, Nacht
νύσσω, ξω, durchgraben

Ξένος, ȣ, ὁ, Fremder
ξέω, έσω, kratzen
ξηρὸς, ὰ, ὸν, dürr
ξύλον, ȣ, τὸ, Holz

Ὄγκος, ȣ, ὁ, Geschwulst
ὁδὸς, ȣ, ἡ, Weg
ὀδȣς, όντος, ὁ, Zahn

ὀδύνη, Schmerz
ὀδύρομαι, ῦμαι, wehklagen
ὄζω, ήσω, έσω, stark riechen
ὀϊζὺς, ύος, ἡ, Trübsal
οἶκτος, ὁ Mitleiden
οἴγω, ξω. Pr. m. ᾤγα, öfnen
οἰκέω, a. 1. ᾤκησα, wohnen
οἴμη, ἡ, Weg
οἶνος, ὁ, Wein
οἷος, α, ον, was für einer
οἴομαι, l. οἶμαι, οἰήσ. meynen
οἴχομαι, ήσ. weggehen
ὀκνέω, verzögern
ὀλλύω l. λυμι, f. ὀλέσω Pr. m. ὦλα, att. ὄλωλα, verderben, verlieren
ὀλίγος, η, ον, wenig
ὅλος, η, ον, ganz
ὁμαλὸς, ἡ, ὸν, eben
ὁμιλέω, mit jemand reden
ὀμνύω, ὀμόσω, schwören
ὁμὸς, ἡ, ὸν, gleich, gerade
ὄναρ, τὸ, Traum
ὄνειδος, εος, τὸ, Schimpf
ὄνημι, ὀνήσω, helfen
ὄνομα, τος, τὸ, Name
ὄνος, ὁ, ἡ, Esel

ὀξὺς, εῖα, ὺ, έος, scharf
ὅπλα, ων, τὰ, Waffen
ὀπτάνω f. ὄψ. sehen
ὀπτάω, ήσω, rösten
ὀπώρα, ας, ἡ, Herbst
ὁράω, άσω, sehen
ὀργάω, άσω, heftig begehren
ὀρέγομαι, ξ, verlangen G.
ὀρθὸς, ἡ, ὸν, richtig
ὄρθρος, Morgendemmerung
ὅρκος, ου, ὁ, Eid
ὁρμάω, ήσω, heftig rennen
ὄρνις, ιθος, ὁ, ἡ, Henne
ὄρος, εος, τὸ, Berg, ὅρος, ου, Grenze
ὀρχέομαι, ησ. tanzen
ὀρύσσω, ύξω, graben
ὄρω, ὀρῶ, erregen
ὅσιος, ία, ον, heilig
ὅσος, η, ον, wie groß, viel?
ὀσφραίνομαι, ανῶ, riechen
ὀτρύνω, υνῶ, antreiben
οὐρανὸς, ὁ, Himmel
οὖρος, ου, ὁ, Hüter
οὖς, ὠτὸς, τὸ, Ohr
ὀφείλω, ήσω, schuldig seyn

ὀχθέω, unwillig seyn
ὄχλος, ὁ, Menge Volks
ὄχος, ου, & εος, τὸ Fuhrwerk
ὄψον, ου, τὸ, Zugemüse

Παῖς, δὸς, ὁ, ἡ, Knabe
πάλη, ἡ, das Ringen
παρθένος, ου, ἡ, Jungfer
πᾶς, ᾶσα, πᾶν, all, jeder
πάσχω, πείσομαι, Pr. m. πέπονθα, leiden
πατάσσω, ξω, schlagen
πατέω, treten
παύω, σω, aufhören
πέδον, ου, τὸ, Erde
πεζὸς, ἡ, ὸν, zu Fusse
πείθω, πείσω, Pr. m. πέποιθα, überreden
πεινάω, άσω, hungern
πειράω, versuchen
πείρω, ερῶ, durchgehen
πέμπω, ψω, senden
πένομαι, arbeiten
πέρας, ατος, τὸ, Grenze
πέρθω, σω, verwüsten
περισσεύω, Ueberfluß haben
πετάω, άσω, ausbreiten
πέτομαι, πτήσω, fliegen
πηγὴ, ἡ, Brunn
πηγνύω, befestigen
πηρὸς, ὁ, verstümmelt
πιάζω, fassen
πιέζω, drücken
πικρὸς, ὰ, ὸν, bitter
πίναξ, ακος, ὁ und πλὰξ, ακος, Tafel
πίνω, πώσω, trinken
πίπτω, πέσω, fallen
πλάσσω, άσω, bilden
πλάνη, ἡ, Irrthum
πλατὺς, εῖα, ὺ, breit
πλέκω, zusammenbinden
πλευρὰ, ἡ, Ribbe, Seite
πλέος, ὁ, voll
πλέω, εύσω, schiffen
ὁ πλησίον (ὢν), der nächste
πλήσσω, ξω, schlagen
πλουτέω, reich seyn
πνέω, εύσω, blasen
πνίγω, ξω, ersticken
ποθέω, ήσω, begehren
ποιέω, ήσω, machen
ποικίλος, mannichfaltig
ποιμὴν, ένος, ὁ Hirte
πόλεμος, έμου, Krieg
πόλις, εως, ἡ, Stadt

πολὺς, πολλὴ, πολὺ, viel
ποταμὸς, ȣ, ὁ, Fluß
πȣ̃ς, ποδὸς, ὁ, Fuß
πρᾶος, α, ον, sanft
πράσσω, thun
πρέπω, sich schicken
πρέσβυς, εια, υ, έος, alt
πρήθω, πίμπρημι, πρήσω, anzünden
πρίω, l. πρίζω, spalten
πταίω, sich stossen
πτερὸν, ȣ̃, τὸ, Flügel
πτοέω, erschrecken
πτύσσω, ξω, falten
πτύω, ύσω, ausspeyen
πυκνὸς, ἡ, ὸν, dicht
πύλη, ἡ, Thor
πύνθανομαι, πεύσ. a. 2. ἐπυθόμην, ausforschen
πῦρ, ρὸς, τὸ, Feur
πύργος, ὁ, Thurm
πωλέω, verkaufen
πωρόω, erhärten

Ῥάβδος, ȣ, ἡ, Ruthe
ῥαίνω, ῥανῶ, begiessen
ῥαπὶς, ίδος, ἡ, Gerte
ῥάπτω, nähen, verfertigen
ῥέω l. ῥύω, ῥεύσω, fliessen
ῥέω, ῥύσω, ἔρρηκα, sagen
ῥήσσω, ῥηγνύω, ξω, reissen
ῥίζα, ης, ἡ, Wurzel
ῥίπτω, wegwerfen
ῥομφαία, ας, ἡ, Degen
ῥύομαι, σ. ziehen, befreyen
ῥύπος, ȣ, ὁ, Unflath
ῥωννύω, l. υμι, stärken

Σαλεύω, stark bewegen
σαλπίγξ, γος, Trompete
σὰρξ, κὸς, ἡ, Fleisch
σάττω, ξω, belästigen
σαφὴς, έως, ὁ, ἡ, offenbar
σβέννυμι, έσω, auslöschen
σέβομαι, verehren
σείω, σω, erschüttern
σεμνὸς, ἡ, ὸν, ehrwürdig
σῆμα, τος, τὸ, Zeichen
σήπω, ψω, faulen
σθένος, εος, τὸ, Stärke
σιγάω, ήσω, schweigen
σίδηρος, ȣ, τὸ, Eisen
σῖτος, ȣ, τὸ Getrayde
σιωπάω, ήσω, stillschweigen
σκάζω, άσω, hinken
σκάπτω, ψω, graben
σκέπτομαι, beschauen
σκεῦος, εος, τὸ, Gefäß

σκηνόω, wohnen
σκιὰ, ᾶς, ἡ, Schatten
σκληρὸς, ὰ, ὸν, hart
σκότος, εος, Finsterniß
σκώπτω, spotten
σοφὸς, ἡ, ὸν, weise
σπαράσσω, ξω, zerreissen
σπάω, ziehen
σποταλάω, verschwenden
σπείρω, ερῶ, säen
σπεῖρα, ας, ἡ, Rotte
σπεύδω, εύσω, eilen
σπιλόω, beflecken
σπλαγχνίζομαι, ein innigstes Mitleiden tragen
σταυρὸς, ȣ̃, ὁ, Creutz
στέγω, bedecken, ertragen
στείβω, treten
στείχω, ξω, einhergehen
στέλλω, λῶ, senden
στενὸς, ἡ, ὸν, enge
στέργω, ξω, lieben
στερεὸς, ὰ, ὸν, dicht
στερέω, έσω l. ή, berauben
στέφω, ψω, krönen
στῆθος, εος, τὸ, Brust
στηρίζω, ξω, befestigen
στίλβω, ψω, glänzen
στίζω, ξω, stechen
στόμα, ατος, τὸ, Mund
στωρέω, έσω, streuen
στρατεύομαι, εύσ. kriegen
στρέφω, ψω, umkehren
στῆνος, εος, τὸ, Ueppigkeit
στυγέω, hassen
στύλος, ȣ, ὁ, Säule
συλάω, ήσω, berauben
σύρω, ρῶ, ziehen
σφάλλω, λῶ, umstürzen
σφάζω, ζω, schlachten
σφοδρὸς, ὰ, ὸν, heftig, stark
σφραγὶς, ίδος, Siegel
σχίζω, ίσω, spalten
σώζω, σω, erretten
σῶμα, τος, τὸ, Körper
σωρεύω, aufhäufen

Ταλάω, άσω, leiden
ταμεῖον, ȣ̓, τὸ, Cabinet
ταπεινόω, erniedrigen

ταράσσω, beunruhigen
τάσσω, ordnen
ταχὺς, εῖα, ὺ, geschwind
τεῖνω, τενῶ, ausdehnen
τεῖχος, εος, τὸ, Maur
τεκμήριον, ίου, τὸ, Merkmal
τελέω, ήσω, vollenden
τέλλω, λῶ, aufgehen
τέμνω, τεμῶ, schneiden
τέρας, ατος, τὸ, Wunder
τερέω, έσω, bohren
τέρπω, ψω, ergötzen
τεύχω, verfertigen
τέχνη, ης, ἡ, Kunst
τήκω, erweichen
τηρέω, verwahren
τίκτω, (τέκω) τέξομαι Pr. m. τέτοκα, gebähren
τιτθὸς, οῦ, ὁ Brust
τιτρώσκω, τρώσω, verwunden
τίω, ίσω, ehren, rächen
τοῖχος, ὁ, Wand
τολμάω, ήσω, erkühnen
τόπος, ου, ὁ, Ort
τράγος, ὁ Bock
τράχηλος, ου, ὁ Hals
τραχὺς, εῖα, ὺ, έος, rauh
τρέπω, ψω, umkehren
τρέφω, θρέψω, ernähren
τρέχω, θρέξω, laufen
τρέω, & τρέμω, zittern
τρίβω & τρύω, stossen
τρώγω, ξω, nagen, essen
τυγχάνω, τεύξομαι, a 2. ἔτυχον, erlangen, seyn
τυλίττω, einwickeln
τύπος, ὁ, Gepräge
τυφλόω, ώσω, verbenden
τύφος, & τῦφος, ὁ, Rauch

Ὕαλος, ου, ὁ, ἡ, Glas
ὑβρίζω, ίσω, beschimpfen
ὑγιὴς, έως, ὁ, ἡ, gesund
ὑγρὸς, ὰ, ὸν feucht
ὕδωρ, ατος, τὸ, Wasser
ὑμνέω, besingen
υἱὸς, οῦ, ὁ, Sohn
ὕλη, ἡ, Materie
ὕπνος, ὁ Schlaf
ὕστερος, ὁ, der letzte
ὑφάω, weben

ὕψος,

ὕψος, εος, τὸ, Höhe
ὕω, ὕσω, regnen

Φάγω f. m. φάγομαι für γεῦμαι, aufzehren
φαίνω, ανῶ, leuchten
φάραγξ, γγος, ἡ, Thal
φάρμακὸν, τὸ, Arzney
φάτνη, ης, ἡ, Krippe
φαῦλος, η, ον, unnütz
φένω, νῶ, tödten
φέρω, οἴσω a. 1. ἤνεγκα, tragen
φείδομαι, σ. verschonen
φεύγω, ξ. fliehen
φῆλος, ὁ, Betrüger
φήμη, ἡ, Gerücht, Sage
φθάνω, άσω, zuvorkommen
φθέγγομαι, γξ. reden
φοβέομαι, ηθήσ. fürchten
φθίνω, σω, l. φθείρω, verderben
φθόνος, ὁ, Neid
φίλος, ὁ, Freund
φιμόω, den Mund stopfen
φλέγω, ξω, entzünden
φλέω, plaudern
φράζω, σω, reden
φρονέω, klug seyn
φρίσσω, ξω, sich entsetzen
φροντίζω, besorgen
φυλάττο, ξω, bewachen
φυλὴ, ἡ, Zunft, Stamm
φυσσάω, ήσω, aufblasen
φύω, σω, zeugen
φωνέω, rufen
φὼρ, ωρὸς, Dieb

Χαίνω, άνω, lechzen
χαίρω, χαρῶ, freuen
χαλάω, άσω, nachlassen
χαλεπὸς, η, ὸν, schwer
χαλινὸς, ῦ, ὁ Zügel
χαλκὸς, ῦ, ὁ, Erzt
χαράσσω, ξω, schnitzen
χάρις, ιτος, ἡ, Gnade
χεῖμα, τος, τὸ, Winter
χεὶρ, ρὸς, ἡ, Hand
χέω, εύσω, giessen
χήρα, ας, ἡ, Witwe
χθὼν, ονὸς, ἡ, Erdreich
χιὼν, όνος, ὁ Schnee

χλευάζω, άσω, verspotten
χλιαρὸς, ὰ, ὸν laulicht
χολὴ, Galle
χόρτος, ου, ὁ, Gras
χράω, ήσω, leihen, ομαι, gebrauchen
χρεία, ας, ἡ, Nothdurft
χρίω, ίσω, salben
χρόνος, ου, ὁ, Zeit
χρυσὸς ου, ὁ, Gold
χωλὸς, ὴ, ὸν, hinkend
χῶρος, ου, ὁ, Land, Ort

Ψάω, ήσω, abwischen
ψεύδομαι, εύσομαι, lügen
ψιθυρίζω, ίσω, sumsen
ψυχὴ, ἡ, Seele, Leben
ψύχομαι, f. 2. ψυγήσ. erfrischen

Ὠθέω, ώσω, treiben
ὦμος, ὁ Schulter
ὠνέομαι, ήσ. kaufen
ὠὸν ου, τὸ, Ey. ῷον, ου, τὸ, obere Theil des Hauses
ὤρα, ας, ἡ, Sorge
ὠφελέω, ήσω, nützen
ὤψ, ὠπὸς, ὁ Gesicht

Die schwersten Stammwörter im N. T. *).

Αγαγειν, αγειν
αισθωνται, αισθανομαι
ακηκοα, ακουω
αναγεγεννημενοι, αναγενναω
ανεγνων, αναγινωσκω
ανεωχα, ανοιγω
ανηνεγκα, αναφερω
ανηφθην, αναπτω
ανηχθην, αναγω
αντεστησα, ανθιστημι
απαρον, απαιρω
απεβησαν, αποβαινω
απεδημησε, αποδημεω

απεδον-

*) Die Tonzeichen sind hier darum weggelassen worden, damit der Lehrer seine Schüler dabey anführe, sie nach S. 9. selber darunter zu setzen.

Bayerische StaatsBibliothek
Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Miller, Johann Peter,

Anweisung zur griechischen Sprache

Leipzig 1769

Augsburg, Staats- und Stadtbibliothek -- Spw 1526
urn:nbn:de:bvb:12-bsb11280870-0
VD18 12503991-001